Digitized by Google

Digitized by Google

Digitized by Google

μου τὴν ἐλπίδα τῆς σωτηρίας. ὦ δέσποτα μου καὶ σὺ τῆς καρδίας, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως· ψυχαγώγησον καὶ ἀγάθυνον, ἡ πηγὴ τοῦ ἐλέους καὶ τῶν ἀγαθῶν. πολλὰ ἐποίησας ἀπ' αἰῶνος, μεγάλα καὶ θαυμαστά, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ἀλλ' εἰ ἐμὲ τὸν ἄσωτον σώσεις, εἰ ἐμὲ τὸν ἀνάξιον παρακλήσεις, πλείω καὶ μείζω θαυμαστὰ ποιήσεις· ὅτι τοσαύτη σου τῆς ἐλεημοσύνης καὶ τῆς φιλανθρωπίας ἡ δύναμις, ὥστε καὶ ἀπὸ βορβόρου μὲ ῥυπαρίτου ποιῆσαι, καὶ ἀπ' οὐ εἰς γέενναν, υἱὸν βασιλείας ἀποτελέσαι. καὶ ἐὰν κεκραξόμεθα πρὸς τὸν Κύριόν μου, καὶ πρὸς τὸν Θεόν μου δεηθησόμεθα· κωδέρησον τὸ ὑπόλοιπόν μου τῆς ζωῆς καὶ τὸ πλήρωμά σου, σπεῖξόν με εἰς τὸν φόβον σου· τρέωσόν με σὺ τῇ ἀγάπῃ σου, καὶ σὺ τῷ πλήθει τῆς χρηστότητός σου· χρηστόν μοι τέλος καὶ ἄξιον τῆς φιλανθρωπίας σου δώρησαι, καὶ τὰ ὀστᾶ καὶ τὰς ἁρμονίας μου καὶ πᾶσαν τὴν σωτοσάσεώς μου σὺν ἐλέει καὶ φιλανθρωπίᾳ σου ἔπιδε, καὶ εἰς ἀνέσεως καὶ εἰς ἀναπαύσεως τόπον τὴν ἀθλίαν μου ψυχὴν ὁδήγησας, ἀποκατάστησον, ὅτι πολλαὶ μοναὶ παρά σοι εἰσὶν κατ' ἀξίαν ἀμοιβόμεθα. ἐὰν δίομαι καὶ παρακαλῶ· δὸς δή, Κύριε, καὶ χάριν στωμύλεως τῇ ἐμῇ ἀναξιότητι τοῦ ἀμοῦσθαί σε εὐαρέστα, καί μοι συμφέροντα· καὶ μὴ μόνον ἀμοῦσθαι, ἀλλὰ καὶ ἀμοιβάπτεσθαι· ὃ μὴ σωαρπάζεσθαι καὶ σωαπάγεσθαι τοῖς ματαίοις, ὃ μὴ ἀμοιβάπτεσθαι σὲ μὴ δέοντα, ὃ ἀχεοδόξως καπηλεύεσθαι τοῖς καπήλοις, καὶ τοῖς παθρίοις συμπαθῆ, καὶ τοῖς ἀμύητοις συγχωρῆ. οἶδα γὰρ ὡς, εἰ μὴ ἀφήσω, οὐκ ἀφεθήσομαι. ἀμὴν λέγω σοι, συγχώρησον πάντα πᾶσι τοῖς ἀμύητοις εἰς ἐμέ. οὐ γὰρ εἰσὶν οὗτοι αἴτιοι, ἀλλ' ἐγὼ ὁ ἄθλιος, ὁ μὴ ποιῶν τὸ πλήρωμά σου, ὃ μὴ φυλάττων τὰ προστάγματά σου. σὺν γὰρ ἀγαπῶντας ἡμᾶς αἰτεῖ μεγάλας τὰς πλουσίας σου δωρεάς· ὦ ὦ πνευματικὸν μου πατέρα, καὶ σὺν ἀδελφοῖς, οὓς σὺ δέδωκας, μὴ παραγγελίαις, κρίμασιν οἷς ἔπλασας ἐμοὶ φιλανθρώπως οἰκτειρήσας, ἐλέησον. σῶν τὰ μὲν τῆς προσευχῆς ῥήματα ἔστωσαν ὑπὲρ εὐτυγχάνοντά μου καὶ ζῶντος καὶ θανόντος· αὕτη ἡ ὁμολόγησις καὶ τὰ δάκρυα ὡς γυμνάσματα σὲ ὤπτιον σου κατευθυνθήτωσαν· ἐγὼ γὰρ καθ' ἑκάστην αἱμαλοῶ τὸν θανατον τὸ ἀπροσδόκητον. ὃ μὲ σῶμά μου τὸ ἄθλιον ταφῇ παραδοθῆ διαφθαρήσεται, καὶ εἰς τὰ, ἐξ ὧν συνετέθη, διαλυθήσεται, ὅπερ ἀναστήσεις ὁ ζωοδότης ἄφθαρτον ἐν τῇ τῆς παλιγγενεσίας χαρᾷ· ὃ δὲ πνεῦμά μου εἰς χεῖράς σου παραθήσομαι· ἀνάπαυσον, ἄγιε δέσποτα, ἐν φωτὶ ζώντων, καὶ ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ὃ σὺν ἐμοὶ ἡμῖν τοῖς γονεῖς, καὶ ἀδελφοῖς, οὓς δὲ οἰκείους εὐγνώμονας· ὅτι εἰ καὶ ἡμάρτωμεν, ἀλλ' οὐκ ἀπέστημεν ἀπὸ σοῦ, οὐδὲ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον· οἴδαμέν σε ἔγνωμεν, καὶ σὲ ἠγαπήκαμεν, καὶ σοὶ πεπιστεύκαμεν, καὶ σὲ προσκυνοῦμεν τὸν ἕνα ἐν τελείᾳ Θεόν. ἐν σοί τε προσευχόμεθα, καὶ ἐν σοὶ τῆς σωτηρίας ἀναρτῶμεν ἐλπίδας. ἐλέησον ἡμᾶς καὶ δὸς μέγα σου ἔλεος, καὶ σῶσον εἰς τὸν ἐπουράνιον καὶ αἰώνιόν σου βασιλείαν. ναὶ δή, Κύριέ μου, Κύριε, οὕτω γένοιτο ταῦτα ἐν ἡμῖν τοῖς ἐλπίζουσιν ὅτι σὲ διὰ τὸν πολλὸν σου καὶ ἀνυπέρβλητον ἀγαθότητα, καὶ δι' τὸ ἄφατόν σου εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν, πρεσβείας τῆς παναγίας δεσποίνης ἡμῶν, ὑπεραγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν ἐπουρανίων καὶ νοερῶν δυνάμεων, καὶ πάντων τῶν ἀπ' αἰῶνος σοὶ εὐαρεστησάντων.

Ἀμήν.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ETONÆ
Excusum in Collegio Regali
M DC XI.

Digitized by Google

Θεοῦ χωρισμοῦ; κλαῦσον, ἀθλία ψυχή, σὺν ὑμνολογοῦντα, καὶ ὁποῖα μὴ τὴν ἔξοδον ἀπαντήσεταί σοι, ὡς λίαν ἐπαχθῆ καὶ ἐπώδυνα, καὶ βόησον· ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς ὁ αἰώνιος, ὁ Θεὸς τῶν ἐλέους καὶ τῶν οἰκτιρμῶν, μὴ ἐγκαταλίπῃς με, μὴ ὑποχείσῃς με· μὴ ἀποστήσῃς ἀπ' ἐμοῦ τὸ ἔλεός σου· πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου. καὶ γὰρ οὕτως ἔχων καὶ οὕτω πλημμελούμενος οὐκ ἀπαγορεύω τῆς ἀγαθῆς ἐλπίδος, οὐδὲ ἀπογινώσκω τῆς σωτηρίας μου. οἶδα γὰρ τὸ ἐμοῦ διαστὸν τὸ βυσυμπάθητον· οἶδα τὸ φιλανθρώπου τὸ ἀμνησίκακον, καὶ ὅτι θελητὴς ἐλέους ὑπάρχει, μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, θέλων τε πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ μάλιστα τὸν ἀπὸ ἁμαρτίας ἐπιστρέφοντα. οὐ γὰρ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. οὐ γὰρ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. τῶν πρώτων λαλήσας φησὶς Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός, σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ· δός μοι λόγον τοῦ ἀνοίξει τὸ στόματός μου, ὁ δίδους βύσσινον τῷ βυσσοῦντι, ὅτι σοῦ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον οὐκ ἂν τῆς παρὸς τῶν φώτων· ἵνα καὶ δι' ἐμοῦ ἀξίωσῃ, καὶ ἱκετεύσω συμφερόντως. μὴ ἀποστραφῇς τεταπεινωμένος, κατηφημένος, ἀλλὰ τυχὸν ὧν ἤλπισα· καὶ οὕτως ἀπολαύσομαι χαρᾶς ἐν πληροφορίᾳ καρδίας μου. ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, ὅτι ὅτι σοὶ πεποίθεν ἡ ψυχή μου· ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι, ὁ ἰασάμενος τὰς ψυχὰς καὶ τὰ σώματα. ὡς ὅτι τὸ φοβερόν σου πρόσταγμα, ὡς τὰν ἀγαθόν σου ποδῶν ἐφαπτόμενος, οὕτω παρακαλῶ καὶ δέομαι καὶ αἰτοῦμαι μὴ συστελλομένης καρδίας καὶ τεταπεινωμένης· ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, συγχώρησόν μοι τῷ ἀχρείῳ καὶ ταπεινῷ· ἔπιδε δὲ ἁγίου κατοικητηρίου σου ὅτι τὴν ἐμὴν ἀθλιότητα· ὅτι βλέψοι δὲ ἁγίων σου ὑψωμάτων ὅτι τὸ προσευχόν σου καὶ ταπεινοῦ δούλου σου, καὶ μὴ ὑποχείσῃς τὴν δέησίν μου. δώσει μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, ὅθεν οὐκ ἔτι λοιπὸν ὑποστρέψω. ὡς ἂν θέλοις πάλιν, ὡς Θεὸς συγχώρησον. σὺ γὰρ οἶδας, δίαστα, τὸ εὐόλισθον τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅλη ἔγκειται ἡ ἀγνοια τοῦ ἀνθρώπου ὑπομιμνῄσκει ὅτι τὰ πάντα οὐκ ἐστὶν ἑκόντος· μνήσθητι ὧν ἐποίησεν· μνήσθητι ὅτι σὺ μόνος καθαρὸς καὶ ἀχράντος καὶ ἀμίαντος, πάντας ὑπὲρ ἡμᾶς ὑπερβαίνοις· μνήσθητι τοῦ ἀπ' αἰῶνος οἰκτιρμῶν σου καὶ τῶν ἐλέους σου, καὶ μὴ συγκαταδικάσῃς με ταῖς ἀνομίαις μου, μηδὲ κατὰ τὰς ἁμαρτίας μου ἀνταποδῷς μοι. οἶδας τὸ πλῆθος τῶν ἀνομιῶν μου, ὅτι πολὺ καὶ ἀριθμῷ μὴ ὑποκείμενον· ἀλλ' οἶδα καὶ τὸ πέλαγος τῆς φιλανθρωπίας σου, ὅτι ἀνείκαστον καὶ ἀνίκητον. σὺ γὰρ εἶ ὁ αἴρων τὰν ἁμαρτίαν τοῦ κόσμου, ὁ ἀπὸ τοῦ οὐρανοῦ κατάβας ὅτι τῆς γῆς, τὸ ζητῆσαν τὸ πλανηθὲν πρόβατον καὶ ἀπολωλός· ὁ ποιμὴν ὁ καλός, ὁ θρέψας τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἐλέησον, ἐλέησόν, τὸ ποίημα τῶν χειρῶν σου· μὴ βδελύξῃ με τὸν ἀνάξιον, ἀλλ' οἰκτίρησον τὸ ποίημά σου. ὁ δι' ἐμὲ σαυτὸν ὑπομείνας, καὶ τὰ τῶν μωλώπων καταδεξάμενος σίγμαθα, ἀλλ' ἰασάμενος, ἐξάλειψον πάντα φαρμάκῳ συμπαθείας, καὶ ἀσύγκῳ φιλανθρωπίας σου. πάντα γὰρ δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. κατάψυξόν μου τὴν πεπυρωμένην καρδίαν, ἐλάφρυνον τὸ βαρὺ τῆς συνειδότος, δέξαι μου τὰ δάκρυα καὶ τὸν στεναγμόν, ὡς τῆς πόρνης, ὡς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου. δέξαι μου τὴν μικρὰν ταύτην ἐξομολόγησιν καὶ μετάνοιαν, ὁ προσδεξάμενος τὸν λῃστὴν τὴν ὑπογραμμοσύνην ἐν τῷ σταυρῷ· δέξαι μου τὰ ἀπὸ τῶν χειλέων καρπόν, ὡς θυσίαν ζῶσαν, εὐάρεστον, εἰς ὀσμὴν εὐωδίας. παρακαλῶ, παρακλῆσαι· δυσωπῶ, δυσωπήθητι. ἥμαρτε καὶ Μανασσῆς ὁ ἔκγονος ὁ βασιλεύς, ἀλλ' οὐκ ἀπώλετο μετανοήσας· ἥμαρτε καὶ Δαυὶδ ὁ προπάτωρ ἐκείνου, ἀλλὰ τὴν ἁμαρτίαν ἀποκαλυψάμενος ἠλεήθη. πολλὰ ἔχω τοιαῦτα παραδείγματα προτεθεωμένα καὶ παραμυθούμενά μου τὴν ἀθυμίαν, ἀποδιώκοντα τὴν ἀπόγνωσιν ἀπ' ἐμοῦ, καὶ πρέφοντά μου

Μαρ. β ιζ. Γεν. ιη κζ. Ψαλ. κα ε. Εφ. ε ιθ. Ιακ. α ιζ.

καὶ παρεσβείου ὁ Θεός μου μὴ ἐγκαταλίπῃς με, Ἰησοῦ Χριστέ, ὁ καλόν ὄνομα, ὁ γλυκασμός μου, καὶ ἡ ὀπτηρία μου, καὶ ἡ ἐλπίς μου ὁ σὸν ἀνθρωποπάσας δι' ἡμᾶς, καὶ τὸ δεξιὸν σαυτοῦ θάνατον ὑπομείνας, καὶ πάντα σὺν σοφίᾳ οἰκονομήσας καὶ ἁμαρτήμασι τῆς ἡμῶν ἑνεκεν σωτηρίας. ἐξομολογοῦμαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου. κλίνω γόνυ σώματος καὶ ψυχῆς, δεξαμενοῦν σοι τὰ τοῦ Θεοῦ μου πάσας τὰς ἀμαρτίας μου. κλίνον καὶ ἄνες ὃ οὐκ σε εἰς τὸν ἐμὸν δίκην, καὶ ἄφες τὸν ἀστεῖσαν τῆς καρδίας μου. ἤμαρτον, ἠνόμησα, ἐπλημμέλησα, πρόωξα, παρέπικρανα τὸν ἐμὸν ἀγαθὸν δεσπότην καὶ Θεὸν καὶ κηδεμόνα. οὐκ ἔστιν εἶδος κακίας ῥητὸν ἢ ἄῤῥητον, ὃ οὐκ ἐποίησα καὶ ἔργῳ καὶ λόγῳ, καὶ γνώσει καὶ ἀγνοίᾳ, καὶ ὀργῇ καὶ μνησικακίᾳ καὶ νοήμασι, καὶ παρρησίᾳ εἰς παρρησίαν ἁμαρτήσας. καὶ πολλάκις μετεμέλησε παρεγόμενος, τοσαυτάκις τοῖς αὐτοῖς περιέπεσα. διὰ τοῦτο πάντες σαγῆνες ὑετῶν ἀριθμηθήσονται, ἢ τῶν ἐμῶν ἁμαρτημάτων ἡ πληθύς. παρῆκεν γὰρ τὸν κεφάλαιόν μου, καὶ ὥστε φορτίον βαρὺ ἐβαρύνθησαν. ἀπὸ γὰρ νεότητός μου καὶ μέχρι τοῦ νῦν ταῖς ἀτόποις ὀπτηρίαις ὑγρὸν ἀνοίξας, ἀχαλινώτοις καὶ ἀπάκτοις ἐχρησάμην ὁρμαῖς, μολυσμὸν χιτῶνα δικαίως ἐνύφαντον τὸ ἀγιασμοῦ βαπτίσματος, τὸν ναὸν μου τοῦ σώματος κηλιδώσας, τὸν ταλαίπωρόν μου ψυχὴν τοῖς πάθεσι τῆς ἀπιμίας καταμιάνας, καὶ πᾶσαν ἄλλην παρανομίαν καὶ ἀδικίαν ἁμαρτησάμενος. ὧν ἐάν τις μέρος ὀπτηριασθῶ ἀριθμῆσαι, ἀπορήσω, ὅτι καὶ ἡμέρα με διαλύσει ὁ χρόνος. ἐπεὶ ὁπόσα οἶδας αὐτός (σὺ γὰρ εἶ κτίσις ἀφανὴς ἐνώπιόν σου πάντα ὁμοῦ καὶ τὰ γυμνὰ καὶ τὰ τεταχαλισμένα τοῖς ὀφθαλμοῖς σου) τί δεῖ σε εἰδότα λέγειν τὰ μὴ ἀκουόμενα παρὰ σοῦ; ἐμοῦ ὁμολογεῖ ἡ καρδία, καὶ τὰ ὄντα τῆς ψυχῆς, καὶ ὅλος εἰς ἀπορίας καταδύομαι βάθος, ὀχυμούμενος ὅτι τηλικαῦτα καὶ τοσαῦτα ἡμάρτηκώς, οὐδὲ μικρόν τι μεταμελείας ἔργον ἐπεδειξάμην· καὶ ὁ καιρὸς τῆς τομῆς ἐγγίς, καὶ ἡ προθεσμία τοῦ θανάτου πρόσεχεν, ὁ δὲ τῆς μετανοίας καιρὸς ὀδαμοῦ. δεῖ τοίνυν πεταραχθῆναι ψυχήν μου, καὶ κατανύξεως δεῖ καὶ κατηφείας πλήρης. ἀνέτοιμος γὰρ καὶ ἀπροσκόπτως ὤν, ἀναλογιζόμενός τε καὶ ἀναχρίνων τὰ κατ' ἐμαυτόν, οὐδὲν ἱκανὸν πρὸς ἀπολογίαν εὑρίσκω, οὐδέ τινα τρόπον καὶ μηχανὴν, δι' ὧν τοῦ αἰωνίου πυρὸς ῥυσθήσομαι. Εἰ γὰρ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ἐγὼ ποῦ φανοῦμαι; καὶ εἰ ἀπὸ πολλῶν ἐλπίδων ἡ βασιλεία τῶν οὐρανῶν τοῖς ἀξίοις καταξιωθῆναι, καὶ γενέσθαι τὴν ἀθλιωτέρα ἡ ὁδὸς τῆς ζωῆς, πῶς ἐγὼ καταδυόμενος καὶ ἀκαταστάτων ἁμαρτημάτων τῆς σωτηρίας ἀξιωθήσομαι; καὶ εἰ πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης, ὁ τοσοῦτος βόρβορος καὶ ἀδικία πῶς λογισθήσεται; Εἰ καὶ ἀρχὴν λόγου ἀπολογήσασθαι παρέχεται, ἀπὸ τοσούτων ἐγὼ ἁμαρτημάτων τίνα δύναμαι εἰπεῖν ἔχων τὴν ἀπολογίαν; οἴμοι ψυχή, ὅτι οὕτω καὶ καθ' ἡμᾶς παρεχώρησε. Βεβαχὺς ὁ βίος καὶ δυσφορώτατος, ὀξέως προδοῦσαν καὶ παρεῖσα θάνατον παραπέμπων. αἰωνία τῶν ἁμαρτωλῶν ἡ πυρεία, ὥσπερ καὶ ἡ τῶν δικαίων βασιλεία, καὶ ζωὴ ἀμφοτέρων μὴ κτισθεῖσα θανάτου. τί οὖν ποιήσω; ἢ ἀθυμήσω; εἰς ποῖον χάος ἐμαυτὸν ἀκηρίσω; φοβερὸς γὰρ καὶ ὁ θάνατος, καὶ μάλιστα τῷ ἁμαρτωλῷ, ἐπεὶ καὶ πικρός. θάνατος γὰρ ἁμαρτωλῶν πικρός. φοβερὰ μὲν καὶ τὰ μὴ θανάτου δείματα, φοβερώτερον δὲ πολλῷ μᾶλλον τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, ἐξ ὧν οὐκ ἔστιν ὁ ἐξελέσθαι δυνάμενος. ὅταν οὖν ἔλθῃ ἐν δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι αὐτοῦ, καὶ ἀποδιδῷ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὅταν θεῖοι πυρὶ θῶσι, καὶ ὁ ἀδέκαστος κριτὴς φοβερὸς καθίσῃ, καὶ ὁ ποταμὸς τοῦ πυρὸς ἕλκων ἐπισπάσηται, καὶ ἡ λαμπρότης καὶ ἡ χαρὰ τῶν δικαίων ἑτοιμασθεῖσα, καὶ πᾶσαι αἱ τῶν ἀγγέλων μυριάδες, καὶ πάντες ἀπ' αἰῶνος ἅγιοι ἀνθρωποι, καὶ πᾶσα ὁμοῦ ἡ κτίσις, ἥ τε ὁρωμένη καὶ νοουμένη ὑπὸ θεσμὸς πήξασα, τί ἐγὼ τότε καταδέξομαι αἰσχύνης πεπληρωμένος, ὑπὸ τῆς συνειδότος κατεγνωσμένος, παῤῥησίας πάσης καὶ ἀπολογίας ἐστερημένος; ποταμοὶ πάντοθεν. οἴμοι τῶν κακῶν· τί πρῶτον θρηνήσω; ἢ δύστηνε ἐγὼ; τί ἀπολοφύρομαι; τὴν στέρησιν τῶν ἀγαθῶν, ἢ τὴν ὀδύνην τῶν ἀλγηδόνων; ὃ ἀπέραντον τῆς τιμωρείας, ἢ ὦ ἀπὸ Θεοῦ

α. Πετ. δ. ιη. Προξ. ιδ. κε. Ματθ. ζ. ιδ. Ησ. ξδ. ς.

Ἐκ τῶν οὐρανῶν ἐδίξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας ἐκδιδάσκεις πατέρα ὁμολογεῖν ἕνα τε καὶ μόνον τὸν ἕνα Θεόν, Ἰωάννην Χρυσόστομε μακάριστε ὅσιε· ὡς ἀξίως θυμηδῶς· ὡς ἀρχὴν καὶ θησαυρὸν ὡς καὶ θεῖα σεφῶν.

Ἡ λέγει τὸν ἡμίονον, ἢ τὸ ἀνασείμιον, οἱ ἔστι κυκλικὴ· καὶ τὴν ὑπόλιτον, ὡς ἔθος, μυστικῶς· τότε ἐξέρχεται εἷς τῆς δύσεως τὸ ἑῷον βάπτισμα, ὁμολογῶν τὴν ἁμαρτίαν αὐτοῦ τὴν ἱερατικὴν, καὶ σεσοφισμένα λέγων τι,

Ὁ Θεὸς ἐλέησόν με.

Καὶ ὑποφέρων σεῖς τὸν λαὸν, εὐλογεῖ λέγων ἐκφώνως.

Φύλαξαι Κύριος ὁ Θεὸς πάντας ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ λαὸς, κλίνοντες τὰς κεφαλὰς πάντες, λέγουσι τι,

Δι' εὐχῶν τῶν ἁγίων πατέρων.

Καὶ ἀπέρχονται ἐν εἰρήνῃ Χριστῷ Θεῷ ἡμῶν.

ΕΥΧΗ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΕΝ ΤΩ μέλλειν ἀγωνιᾶσθαι, ἢ ἀγωνιῶντος ἑτέρου ἀκροᾶσθαι.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, τοῦ ἀκούειν με τοὺς λόγους σου, καὶ ζωὴν καὶ ποιεῖν τὸ θέλημά σου, Κύριε· ὅτι πάροικος ἐγώ εἰμι ἐπὶ τῆς γῆς. μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλ' ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. ὅτι σοὶ γὰρ ἐλπίζω, ὁ Θεός μου, ἵνα σύ μου φωτίσῃς τὴν καρδίαν. Ψαλ. ριθ. ιθ.

ΕΥΧΗ ΔΕΥΤΕΡΑ ΙΩΑΝΝΟΥ ΤΟΥ Χρυσοστόμου.

Κύριε ὁ Θεός μου, ὁ μέγας καὶ φοβερὸς καὶ ἔνδοξος, ὁ πάσης ὁρωμένης καὶ νοουμένης κτίσεως δημιουργός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ φυλάσσουσι τὰ πρόσταγματά σου· καὶ νῦν καὶ πάντοτε βοήθησόν σοι πασῶν ἕνεκα τῶν εἰς ἐμὲ ἡμαρτημένων βουλήσεών σου φανερῶν καὶ ἀφανῶν. καὶ μέχρι τοῦ νῦν αἰνῶ καὶ δοξάζω καὶ μεγαλύνω σε, αἰτῶν ὧν ἐθαυμάτωσας ἐπ' ἐμοὶ τὰ ἐλέη σου τὰ πλούσια καὶ τοὺς οἰκτιρμούς σου, ἀβλαβῆ καὶ ἀμώμητός με ἐκ νεκρῶν μηδὲν ἐᾶσαι, καὶ ὅτι πᾶσι προσηνεσμένος, σωτηρίας τε καὶ θαυμαστὰς ὁσίως τὰ κατ' ἐμὲ θαυμάσιον γενέσθαι καὶ φιλανθρωπίαν σου. οὐ γὰρ διὰ τὸ δύναμιν μου καὶ ἐμπαθὲς ὑπόδειγμα τῶν ἐμῶν παπίνωσιν, ἀλλὰ διὰ τὸ φιλανθρωπίαν σου καὶ συμπαθὲς βουλητὸν καὶ προσηνούμενος οὐ διέλειπες· καὶ ἕως γήρως

καὶ

Ο διάκονος. Εἰρήνη πᾶσι.

Καὶ αὖθις. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ ἐπιβαμένου ἐκφωνουμένη ὑπὸ τοῦ ἱερέως ἔξω τοῦ βήματος.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, ὁ ἁγιάζων τοὺς ὑπὲρ σοῦ πεπονθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας εἰς σέ. Εἰρηνεύσει τῷ κόσμῳ σου δωρησάμενος, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ πάσῃ τῇ λαῷ σου, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Ἀμήν.

Ταύτης τῆς εὐχῆς λεγομένης, ἵσταται ὁ διάκονος ἐμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ κρατῶν τὸ ὠράριον αὐτοῦ, ὡς πάλαι εἶπον, τῷ χαμηλῷ ὑποκλίνῃ μέχρι συμπληρώσεως τῆς εὐχῆς· καὶ ὁ χορὸς ψάλλει τὸ,

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ τὸν ψαλμόν.

Εὐλογήσω τὸν Κύριον. ἢ τῶν ἁγίων τὴν ἡμέραν.

Εὐχὴ ἐν τῷ συστέλλειν τὰ ἅγια μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ἐπλήρωσας· ὁ πληρώσας πᾶσαν παρουσίαν οἰκονομίαν, πλήρωσον χάριν καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὸν δεῖνα· ἐξέρχεται ὁ ἱερεύς, καὶ σταθεὶς ἐν τῷ σωλήνι τούτῳ, δίδωσι τὸ ἀντίδωρον· εἶτα ποιεῖ ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Καὶ ὁ χορός. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ οἱ ἔστι κυριακή, λέγει ὁ ἱερεύς·

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστός, ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

Εἰ δὲ ἐκ ἔστιν ἀναστάσιμος, λέγει·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῆς θείας δυνάμεως καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦ ἡμέτερου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος θεός.

Καὶ εὐλογῶν τὸν λαόν, ἐξέρχεται. μὴ ἔχων τὸν ἀπόλυσιν, εἰ ἐκ ἔστι διάκονος, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὸν προθέσεως, καὶ μετακαλεσάμενος τὸν ὑποκρισιάρην ἐκ τῆς ἁγίας πύλης προσφορᾶς καὶ διακόνου· καὶ ἀποστείλας τὸν ἄκρον ποιεῖ ον τοῦ τοῦ οἴκου καὶ τοῦ ὕδατος· καὶ ὀρθὲ μὲν μείνῃ τὸ λειτούργιον μνημονεύει. πάντα λέγει.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα. ἅλον.

Καὶ συστέλλει τὰ ἅγια, τὸ ποτήριον, καὶ δίσκον μὲν τὸν καλυμμάτων καὶ τὸ ἄστρον. εἰ δὲ διάκονος, ὁ αὐτὸς ποιεῖ. ὁ δὲ ἱερεὺς ἀπέρχεται εἰς τὸν σκευοφυλακίου, καὶ ἐκδύεται ἑαυτὸν λέγων τοῦτο.

Ἅγιος ὁ Θεός. καὶ τὸν, Πανάγια τρισάγιε. καὶ τὸν, Πάτερ ἡμῶν.

Τότε λέγει τὸν ἀπολυτίκιον τοῦ Χρυσοστόμου.

Ἡ τῆς γόμωτός σου καθάρσιος πυρὸς ἐκλάμψασα χάρις, τὸν οἰκουμενικὸν ἐφώτισε, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ἐπέδειξεν. ἀλλὰ ζῶν λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μυστήριον τὸν κυριακόν.

Εκ

Καὶ ὁ διάκονος ἔρχεται, καὶ ποιεῖ ἅπαξ λίγων.

Ἰδοὺ προσέρχομαι σοι ὁ ἀθανάτῳ βασιλεῖ. καὶ τὸ,

Πιστεύω καὶ ὁμολογῶ. ὅλον. καὶ λέγει ὁ ἱερεύς.

Μεταλαμβάνεις ὁ δοῦλος τοῦ Θεοῦ ἀδέκητος ὁ δεῖνα. τὸ ἄμωμον καὶ ἅγιον σῶμα καὶ αἷμα τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν σου, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος τοῦ διακόνου, λέγει ὁ ἱερεύς.

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖται αἱ ἀνομίαι σου, καὶ αἱ ἁμαρτίαι σου προσαφαιρεθήσονται· ὡς καὶ ὁ ἰαυτὸν εἶπε.

Τότε λαβὼν τὸν ἅγιον δίσκον ὁ διάκονος, ἐπαίρει τὸ ἁγίου ποτηρίου ἀποσπογγίζει τῷ ἀέρι σπόγγῳ πάνυ καθαρῷ καὶ μὴ προσοχῆς καὶ ἐυλαβείας· καὶ σκεπάζει τὸ ἅγιον ποτήριον τῷ καλύμματι. ὁμοίως καὶ ὅπερ τὸν ἅγιον δίσκον τίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα. καὶ ἀνοίγοντι τὼν ὄνεχα τὸ ἁγίου βήματος. καὶ ὁ διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ ποτήριον μὴ ἐυλαβείας, καὶ ἔρχεται εἰς τὼν ὄνεχα, καὶ ὑψῶν τὸ ἅγιον ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ καὶ ἀγάπης προσέλθετε.

ὁ χορός. Ἀμήν. ἀμήν. ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ ὁ ἱερεὺς ἐυλογεῖ τὸν λαὸν, λέγων ἐκφώνως.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὼν κληρονομίαν σου.

Καὶ ὁ χορός· Εἰς πολλὰ ἔτη δέσποτα.

Καὶ ἐπιφέρουσιν ὅ τε διάκονος καὶ ὁ ἱερεὺς εἰς τὼν ἁγίαν τράπεζαν, καὶ θυμιᾷ ὁ ἱερεὺς πρὸς λέγων καθ' ἑαυτόν.

Ὑψώθητι ὑπὲρ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ὑπὲρ πᾶσαν τὼν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον δίσκον, τίθησιν ὑπὸ τὼν καλυπτῆ τῶ διακόνῳ. καὶ ὁ διάκονος λαβὼν αὐτὸν μὴ ἐυλαβείας, διωρᾶν ἔξω πρὸς τὼν θύρων, ἕως λίγων ἀπέρχεται εἰς τὼν πρόθεσιν, καὶ ἐπιτίθησιν αὐτόν. ὁ δὲ ἱερεὺς προσκυνήσας καὶ λαβὼν τὸ ἅγιον ποτήριον, καὶ ἐπιστρέφεις πρὸς τὼν θύρων, ὁρᾷ τὸν λαὸν, λέγων·

Πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν.

Ὑψηλοποιῶν τῶν Πληρωθήτω,

Ἀποκομίζονται ἐν τῇ προθέσει τὰ ἅγια, προσφωνοῦντος τοῦ διακόνου, λέγοντος τοῦ ἱερέως τὼν εὐχὼν ταύτην μυστικῶς.

Εὐχαριστοῦμέν σοι, δέσποτα Φιλάνθρωπε, βυέργετα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὼν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοῦ παντὸς· φρούρησον ἡμῶν τὼν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ βήματα, δυχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Καὶ ὁ μὲ διάκονος θυμιάσας τὰ ἅγια, καὶ τὸ θυμιατὸν ἀποθέμενος, καὶ ἐν τῷ ζωνῆδες τόπῳ σας, λέγει·

Ὀρθοὶ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

ὁ χορός. Κύριε, ἐλέησον.

ὁ διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ὁ χορός. Κύριε, ἐλέησον.

ὁ διάκονος. Τὼν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὼν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ὁ χορός. Σοί, Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σὺ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὼν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ὁ χορός. Ἀμήν.

Digitized by Google

Ο ἱερεὺς εὐλογεῖ λέγων.

Εὐλογημένη ἡ ζέσις τοῦ ἁγίου σου, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ο διάκονος ἐκχέει σταυροειδῶς ἄνωθεν τοῦ ἁγίου ποτηρίου, λέγων.

Ζέσις πίστεως πλήρης πνεύματος ἁγίου.. Ἀμήν.

Καὶ τοῦτο ποιεῖ ἐκ τρίτου· εἶτα ἀποπτύων τὸ ζέον, ἴασαι μικρὸν ἄνωθεν. ὁ ἱερεὺς λέγει·

Πρόσελθε, προσκύνησε.

Καὶ προσελθὼν ὁ διάκονος ποιεῖ μετανοίαν ἐνταῦθα, καὶ οὕτω χώρησιν. ὁ ἱερεὺς κρατεῖ τὸν ἄρτον ἄνω, δίδωσι τῷ διακόνῳ· καὶ ἀσπασάμενος αὐτὸν φέρει, καὶ δίδωσιν αὐτῷ χεῖρα, λαμβάνει τὸν ἄρτον ἄνω, λέγων·

Μεταδίδωμί σοι τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ο ἱερεὺς λέγει.

Μεταδίδωμί σοι τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον.

Καὶ ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς τραπέζης, κλίνας τὸν κεφαλὴν, καὶ προσκυνήσας ὡς ὁ ἱερεύς. ὁμοίως καὶ ὁ ἱερεὺς λαμβάνει τὸν ἄρτον ἄνω, κλίνας τὸν κεφαλὴν, ἀπερχόμενος τῆς ἱερᾶς τραπέζης, καὶ κύψας ἄνω·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σύ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός ἐγώ εἰμι. καὶ Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, υἱὲ Θεοῦ, κοινωνόν με προσλάβου· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθὰ καὶ Ἰούδας, ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. καὶ Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ὀροφὴν εἰσέλθῃς τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ' ὡς καταδέξῃ ἐν ἀπλαίᾳ καὶ φαύλῃ ἀλόγῳ ἀναπαύσασθαι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μοι πόρνην τὴν ἁμαρτωλὸν προσδέξασθαι σοι καταδοξάσθω, ἀνάξιος καταξίωσον καὶ ἐν τῇ φαύλῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τὸν νεκρὸν καὶ λεπρόν. καὶ ὡς οὐκ ἐδειλίασε τὸ σῶμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλῆσαι τοὺς ἀχράντους σου πόδας, οὕτω, δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν, ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου σώματός καὶ αἵματός σου.

Ο Θεὸς ἡμῶν λύσε, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ τὰ πλημμελήματά μου, ὅσα σοι ἥμαρτον, τὰ ἑκούσιά τε καὶ ἀκούσια· εἴτε ὡς γνώστης, εἴτε ὡς ἀγνοίᾳ, εἴτε ὡς λόγῳ, εἴτε ὡς ἔργῳ, εἴτε ὡς ἐπιθυμήσει ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου μητρός, ἀκαταπάστου με δύνασθαι τοῦ τιμίου καὶ ἁγιάσματος σου σώματός καὶ αἵματος· εἰς ἴασιν ψυχῆς καὶ σώματος· ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὅταν μεταλαμβάνωσι τοῦ ἅγιον ποτήριον καὶ μεταλαμβάνῃ πρότερον ὁ ἱερεὺς πέντε ῥήματα ἐν μιᾷ συστολῇ· καὶ ἐν τῷ πρώτῳ ῥήματι, λέγει·

Εἰς τὸ ὄνομα τοῦ Πατρός.

Ἐν τῷ δευτέρῳ· Καὶ τοῦ υἱοῦ.

Ἐν τῷ τρίτῳ· Καὶ τοῦ ἁγίου πνεύματος.

Καὶ μετὰ τὸν μετάληψιν ἀπογίνεται τὸ ἔκλυσμα τὸ ἄνωθεν ποτήριον καὶ τὰ ἑαυτοῦ χείλη ὁπισθοξίως ἅμα καὶ συλλαβῶς, λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφῇ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου καθαριεῖ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κρατεῖ τὸ ἅγιον ποτήριον κλίνων τὸν διάκονον, λέγων·

Διάκονε, προσέλθε.

Καὶ

τος, νῦν ⸂ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν.

ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

ὁ χορός. Καὶ τῷ πνεύματός σου.

ὁ διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

ὁ χορός. Σοὶ Κύριε.

Κλίνας γονυ ὁ διάκονος μικρὸν τῷ ἁγίῳ, καὶ ἐρᾷν τὸν ἱερέα σεσιγηκότα, σεσιγηκοῦ καὶ αὐτός. ὁ ἱερεὺς κλινήμενος, ἐπιφωνεῖ μυστικῶς.

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ μεγίστῃ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τῶν ἐλέους σου ὅλῳ τὸν ὅπως εἰς τὸ εἶναι ἀγαγὼν τὰ σύμπαντα, αὖθις δίκαιόν τε, καὶ οὐρανόθεν ἐπίδε ὅτι σοὶ παρεστήκαμεν τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλινεν ἁρμὶ καὶ αἵματι, ἀλλά σοι τῷ φοβερῷ Θεῷ. σὺ οὖν, δέσποτα, τὰ παρεκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν δέξαι καὶ τῷ ἑκάστου ἰδίᾳ χρείᾳ· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιπόροις συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Ἐκφώνως ὁ ἱερεύς.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν.

ὁ ἱερεὺς ἐπιφωνεῖ μυστικῶς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου καταπετάσματείου σου, καὶ ἀπὸ δεξιᾶς δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ συνκαθήμενος τῷ πατρὶ ἀόρατος σὺν ἡμῖν ὁ αὐτὸς καὶ ἀοράτως σὺν ἡμῖν καὶ ἀξίωσον τῇ χειρί σου μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα σφίγγων ὁ ἱερεὺς καὶ ὁ διάκονος ἐν ᾧ δεῖ τόπῳ, λέγοντες μυστικῶς τάδε·

Καὶ ὁ λαὸς ὁμοίως, πάντες μετ' εὐλαβείας σεσιγηκότες. ὅταν δὲ ἴδῃ ὁ διάκονος τὸν ἱερέα ἀκατέχητα τὰς χεῖρας, καὶ ἐπόμενον τῷ ἁγίῳ ἄρτῳ σφίγγοντα τὸ πετάσμα ἢ ἁγίαν ὕψωσιν, ἐκφωνεῖ·

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις.

ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός. Ἀμήν.

Εἶτα ψάλλει ὁ χορὸς τὸ κοινωνικὸν τῆς εἰκόνος ἢ τοῦ ἁγίου· καὶ ὁ διάκονος ζώννυται τὸ ὠμοφόριον αὖθις σταυροειδῶς, καὶ σπεύδων ἐν δεξιᾷ τοῦ ἱερέως κρατοῦντος τὸν ἄρτον, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.

ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα, μετὰ σεμνότητος καὶ εὐλαβείας λέγει.

Μεμέλισται καὶ διαμεμέρισται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ υἱὸς τοῦ πατρός, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος· ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Τότε λαμβάνει τὸ ἓν μέρος τοῦ ἁγίου ἄρτου, καὶ ἐν τῇ χειρὶ ἔχει· καὶ ὁ διάκονος διακύπτων σὺν τῷ ὠμοφορίῳ τὸ ἄκρον ποτήριον, λέγει·

Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον.

ὁ δὲ ἱερεὺς λέγει.

Πλήρωμα πίστεως, πνεύματος ἁγίου.

Καὶ πιεῖ διὰ σταυροῦ, καὶ ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον.

ὁ διάκονος. Ἀμήν.

Καὶ διχάσας τὸ ζέον, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον, δέσποτα, τὸν ἁγίασμα ζέσιν ταύτην.

ο χορὸς. Κύριε ἐλέησον.

ο διάκονος. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

ο χορὸς. Κύριε ἐλέησον.

ο διάκονος. Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

ο χορὸς. Κύριε ἐλέησον.

ο διάκονος. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

ο χορὸς. Κύριε ἐλέησον.

ο ἱερεὺς ἐπὶ χαμηλοφώνου.

Σοὶ παρακαταθέμενα τὸν ζωὸν ἡμῶν ἅπαντα καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαρᾶς συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα.

ο διάκονος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ο χορὸς. Κύριε ἐλέησον.

ο διάκονος. Τὸν ὑπερμαχον πάσης πολεμίας, ἀόρατον, εἰρηνικὸν καὶ ἀθάνατον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορὸς. Παράσχου Κύριε.

ο διάκονος. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορὸς. Παράσχου Κύριε.

ο διάκονος. Συγχώρησιν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορὸς. Παράσχου Κύριε.

ο διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορὸς. Παράσχου Κύριε.

ο διάκονος. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορὸς. Παράσχου Κύριε.

ο διάκονος. Τὴν ἐνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ο χορὸς. Σοὶ Κύριε.

Ἐκφώνως ὁ ἱερεύς.

Καὶ καταξίωσον ἡμᾶς, δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε Ⓜ ἐπουράνιον Θεὸν πατέρα, καὶ λέγειν.

ο χορός. Πάτερ ἡμῶν.

Ἐκφώνως ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,

Τῦ ἁγίου Ἰωάννου τῦ θεοφόντυ πρεσβύτυ καὶ βασιλέως· τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τῦ ἁγίου τῶν, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός, καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων καὶ πιστῶν. Τῶν ζώντων λέγει·

Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τῦ δούλυ τῦ Θεῦ τῶν.

Ὑπὲρ πιστῶν λέγει·

Ὑπὲρ ἀναπαύσεως καὶ ἀφέσεως τῆς ψυχῆς τῦ δούλυ σου ὁ δεῖνα. Ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, στεναγμός, ἀνάπαυσον αὐτοῦ ὁ Θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτοῦ ὅπου ἐπισκήπτει ὁ φῶς τῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξου τῶν ὀρθοτομούντων καὶ λόγυ τῆς σῆς ἀληθείας, πάντος τῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς τοῦ ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι καὶ τὴν λογικὴν ταύτην λατρείαν· ὑπὲρ τῆς οἰκουμένης· ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τῦ παλατίου καὶ τῦ στρατοπέδυ αὐτῶν. δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ὁ μὲν διάκονος ἐπιτίθησι τοὺς τῶν δώρων τοῦ ἁγίου κάλυκας κρατῶν τὸ ἱερεῖον τοῖς ἱερεῦσιν ἄνωθεν ἀκροπύλοις, καὶ λέγει·

Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ χορὸς φάλλει· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ ἱερεὺς ἐπιφωνεῖ·

Ἐν τοῖς πανάγιοις μνήσθητι, Κύριε, τῶν ἐκλεπισκόπων ἡμῶν ὁ δεῖνα· οὗ χάρισαι τὰς ἁγίας σου ἐκκλησίας ἐν εἰρήνῃ σῶσαι, ἐντίμως, ὑγιῆ, μακροημερεύουσα, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τὴν θύραν φησί, λέγων·

Τοῦ ὁ δεῖνος, πανιερωτάτου μητροπολίτου, ἢ ἐπισκόπου, ὅστις αὐτὸς ᾖ. Καὶ ὑπὲρ τοῦ προσκομιζομένου τὰ ἅγια δῶρα τῷ θεῷ, εὐλαβεστάτου ἱερέως ὁ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ πάντων καὶ πασῶν.

Ὁ χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐφ' ἡμᾶς τὰ ἐλέη σου ἐκχεόντων.

Ἐκφώνως. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ὑμνεῖν τὸ πανάγιον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπιφωνεῖ πρὸς τὴν θύραν, καὶ εὐλογῶν λέγει ἐκφώνως.

Καὶ ἐξαιτοῦμαι ἐλέησαι τὸν μεγάλον Θεὸν καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν μεθ' ἡμῶν πάντων ὑμῶν.

Ὁ χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ διάκονος ἐξέρχεται, εἰ ἔστιν, ἕτερον ὁ ἱερεύς. καὶ στὰς ἐν τῷ ζωνάρει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι τὸν Κύριον δεηθῶμεν.

λθώσι, τῆ χαρᾶ, τῆ τῶ φῶτος, τῆς τελειμέρᾳ ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνως. Τὰ σὰ ἐκ τῶν σῶν σοι προσφέροντες κατ' πάντα, καὶ ὑπὲρ πάντα.

Ο χορός. Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ο ἱερεὺς πάλιν κλίνας τὸν κεφαλὸν, ἐπεύχεται μυστικῶς.

Ἐπὶ προσφέροντές σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, ἐπικαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ο διάκονος ὑποδείκνυσι τὸ ῥιπίδιον ὅπως σαλεύσῃ· ἢ κάλυμμα, καὶ ἄρχεται ἐγγύτερον τῆ ἱερεῖ, καὶ σείσας ὑπὲρ ἀμφοτέρων τὰ ἱερὰ δῶρα τῆς ἁγίας τραπέζης, καὶ ἑαυτὸν τι,

Ο Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. λέγει μυστικῶς τάδε. Κύριε, ὁ τὸ πρωΐαιον πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις καταπέμψας, τοῦτο, ἀγαθὲ, μὴ ἀποσπάσῃς ἀφ' ἡμῶν. καὶ τὸ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Εἶτα τὸν κεφαλὸν κλίνας ὁ διάκονος, λύπησον σῶν τὸν ὠμοφόριον ἄγιον ἄρτον, καὶ λέγει μυστικῶς.

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Καὶ ὁ ἱερεὺς εὐσταλὴς, σφραγίζει τὸν ἅγιον δῶρα, λέγων μυστικῶς.

Ποίησον, τὸν μὲν ἄρτον τοῦτον, τίμιον σῶμα τοῦ Χριστοῦ σου.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος. Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ο ἱερεὺς εὐλογῶν λέγει·

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ο διάκονος. Ἀμήν.

Καὶ αὖθις ὁ διάκονος δεικνύων τῷ ὠμοφορίου ἀμφοτέρωθεν τὰ ἅγια, λέγει·

Εὐλόγησον, δέσποτα.

Ο ἱερεὺς εὐλογῶν τῇ χειρὶ ἀμφοτέρωθεν τὰ ἅγια, λέγει·

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ.

Ο διάκονος. Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὸν κεφαλὸν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ, καὶ ἀπὸν τι,

Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ,

Μιδίσας ἐν ᾧ ποιήσει ἵστα τόπω, λαοῦ καὶ τὸ ῥιπίδιον αὖθις ὡς πρότερον. ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς.

ὡς ἠξιώθητε τοῖς μεταλαμβάνουσιν εἰς ὕψωσι ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα. ἔτι προσφέροντές σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.

Ἐκφώνως. Ἐξαιρέτως τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ο χορὸς ᾄδει.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν θεοτόκον. ἢ τὸ τῶν ἀγγέλων.

Ο διάκονος δυσὶ χώραις τὸν ἅγιον τράπεζαν καὶ τὸ ὅλον ἅγιον τῶν κεκοιμημένων καὶ ζώντων, ὧν βέλεται, μνημονεύει. ὁ ἱερεὺς κλινήσας δ' ἐπεύχεται μυστικῶς.

Τοῦ

ο ἱερεύς. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

ο χορός. Ἄξιον καὶ δίκαιον ἐστὶ προσκυνῆσαι πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ο ἱερεὺς κλινόμενος ἐπὶ χεῖρα μυστικῶς.

Ἄξιον καὶ δίκαιόν σε ὑμνῆσαι, σὲ εὐλογῆσαι, σὲ αἰνέσαι, σοὶ εὐχαριστῆσαι, σὲ προσκυνῆσαι ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀνεξιχνίαστος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τοῦ μονογενοῦς σου υἱοῦ, καὶ τοῦ πνεύματός σου τοῦ ἁγίου, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας. κἂν ποσὶ παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, φοβερὰ,

Ἐκφώνως, Τὸ ἐπινίκιον ὕμνον ἀδόντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

ο χορός. Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ο διάκονος βλασφαίνει τὸν ἀστέρισκον, καὶ ποιῶν σταυροειδῶς ὅπου τὸ ἅγιον δίσκου, καὶ σπογγίσας αὐτὸν ὅπου εἰλητό, καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μὴ τὸ ἀέρι. εἶτα μετὰ ταῦτα ἐκ τῆς δεξιᾶς μέρους, καὶ βαπίζει ἐπάνω τοῦ ἁγίου μὲ βραγχὶν ἐυλαβῶς· εἰ γὰρ καὶ ῥαπίδιον, πλὴν τοῦτο μὲ κάλυμμα τος. ἐπὶ χεῖρα μυστικῶς ὁ ἱερεύς,

Μετὰ τούτων καὶ ἡμεῖς τοὺς μακαρίους δυνάμεων, δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν, ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς οὕτω κόσμον σου τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς, ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ, ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσὶ, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Ο ἱερεὺς κλίνει τὴν κεφαλὴν, καὶ ἄρας τὴν δεξιὰν ἀπὸ μὴ ἐυλαβείας, εὐλογεῖ τὸν ἄχραντον ἄρτον, ἐκφώνως λέγων·

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

ο χορός. Ἀμήν.

Ο διάκονος ἀσπάζεται τὸ ἱερὸν ἀσκητήριον, δείκνυσι σὺν τῷ ἱερεῖ καὶ αὐτὸν τὸν ἄχραντον δίσκον, ὁμοίως καὶ ἅπτεται τοῦ ἁγίου ποτηρίου. ἀσπάζεται καὶ ἀναφωνεῖ ὁ ἱερεύς.

Τὰ σὰ ἐκ τῶν σῶν.

Ο ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μὴ τὸ δισκίον λέγων·

Ἐκφώνως ὁ ἱερεὺς τὸν χεῖρα ἔχων αὐτὸν μὴ ἐυλαβείας, καὶ εὐλογῶν, λέγει.

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

ο χορός. Ἀμήν.

Ο ἱερεὺς κλίνας τὴν κεφαλὴν ἐπὶ χεῖρα μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων,

ο διάκονος. Τῶν ἡμέρᾳ πᾶσαν τελείαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ὁ χορός. Παράσχου Κύριε.

ο διάκονος. Ἀγγέλου εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορός. Παράσχου Κύριε.

ο διάκονος. Συγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορός. Παράσχου Κύριε.

ο διάκονος. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορός. Παράσχου Κύριε.

ο διάκονος. Τὰ ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορός. Παράσχου Κύριε.

ο διάκονος. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὸν ἐπὶ τοῦ φοβεροῦ βήματος παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ο χορός. Παράσχου Κύριε.

ο διάκονος. Τῆς πανάγιας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ο χορός. Σοὶ Κύριε.

ο ἱερεὺς ἐκφώνως. Διὰ τὴν οἰκτιρμὸν τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺ καὶ πανάγιον καὶ ἀγαθὸν καὶ ζωοποιὸν σου πνεῦμα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ο χορός. Ἀμήν.

ο ἱερεὺς. Εἰρήνη πᾶσιν.

ο διάκονος. Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

ο χορός. Πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

ο ἱερεὺς σφραγιζόμενος λέγει μυστικῶς τάδε.

Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου.

Καὶ ὁ διάκονος ἀναπτύσσει τὸ ἱερεῖον ἀέρα, καὶ σφραγιζόμενος τάδε ἐκφώνως.

Τὰς θύρας, τὰς θύρας. ἐν Σοφίᾳ προσχώμεν.

Καὶ ὁ χορὸς, τό. Πιστεύω.

Καὶ μετὰ τὸν συμβολισμὸν τῆς ἀγίουσυμβόλου, λέγει ὁ διάκονος ἐκφώνως.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, προσχώμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

ο χορός. Ἔλαιον εἰρήνης, θυσίαν αἰνέσεως.

ο ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

ο χορός. Καὶ μετὰ τοῦ πνεύματός σου.

ο ἱερεὺς. Ἄνω σχῶμεν τὰς καρδίας.

ο χορός. Ἔχομεν πρὸς τὸν Κύριον.

ο

Εἶτα ὁ διάκονος πάλιν πρὸς τὸν ἱερέα τὴν χειρα τὴν ὑποκίνας, λέγει·

Μνήσθητί μου, δέσποτα, ἅγιε τῶ ἀμώμητε.

καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νυν ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀποτίθεται καὶ αὐτὸς τὸ ἄγιον πτύελον ἐν τῇ ἱερᾷ τραπέζῃ, ἀσπάζων καὶ τὸ ἱερεῖον τόπον·

Ο βαπτίσας Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας, καὶ ἀρώμασιν ἐν μνήματι κεκρυμμένῳ κηδεύσας ἀπέθετο. Ισα. ν.

Εἶτα ἀποτίθησι τὰ καλύμματα ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἁγίου ποτηρίου· τὸν μὲν ἄερα λαβὼν ἀπ' ἄνω τοῦ δισκάριου, καὶ δυμώσας αὐτὸν ἀποτίθησι τὸ ἱερὸν· εἶτα ὁ διάκονος δυμᾷ τὰ ἅγια τρὶς, λέγων ὅτι·

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών.

Εἶτα εὐχόμενος τὸ, Ο Θεὸς ἐλέησόν με τῷ ἁμαρτωλῷ.

Ἐμπροσθεν τοῦ ἁγίου τραπέζης προσκυνεῖ τρὶς. καὶ ὁ μὲν ἱερεὺς ἵσταται· ὁ δὲ διάκονος γονυπετήσας τρὶς, φησὶ τὸν ἱερέα λέγει·

Εὔξαι γάρ μου, δέσποτα.

ὁ δὲ ἱερεὺς λέγει· Πνεῦμα ἅγιον ἐπελθέτω ἐπὶ σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Λκε. α. λε.

ὁ δὲ διάκονος λέγει· Τὸ αὐτὸ ἅγιον πνεῦμα συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν, πάντοτε νυν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μνήσθητί μου, δέσποτα ἅγιε.

ὁ δὲ ἱερεὺς λέγει· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νυν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ διάκονος· Ἀμήν. ἀμήν. ἀμήν.

Καὶ προσκυνήσας, ἄρχεται ἐκ τοῦ σωλῆνος τὸ φιλίζειν·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τῆς προσηλύτων ἡμῶν ὁσίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

ὁ διάκονος· Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

ὁ χορός· Κύριε, ἐλέησον.

Εὐχὴ προσκομιδῆς μετὰ τὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀποθέσει, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς·

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ὁλοκαρδίως σοι ἐξομολογουμένων σε ἐν ὅλῃ καρδίᾳ, προσδέξαι καὶ ἡμῶν τὴν ἁμαρτωλὸν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἐπιχορήγησον ἡμῖν χάριν δωρεᾶς τοῦ ἁγίου πνεύματος· ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς θύρᾳ χάριτι εὐωπιόν σου, τοῦ ἡδέσθαι σοι θυσίαν ἡμῶν, ἐπισκηνώσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ὑπὲρ τὰ προκείμενα δῶρα τοῦτα, καὶ ὑπὲρ πάντα τὸν λαόν σου.

ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

ὁ χορός· Κύριε, ἐλέησον.

τῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς σὺν ἐμοὶ δεομένοις ἡμῶν πρὸς σὲ τὸν βίου καὶ πίστεως καὶ ζωῆς πνευματικῆς· ὅπως αὐτοῖς πάντοτε μὲν φόβου καὶ ἀγάπης λατρεύωσί σοι ἀμέμπτως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξίους ποιῆσαι.

Εὐχομένου τὸ ἱερέως, ὁ διάκονος λέγει τὰ εἰρηνικά· ἔξω τῦ ἁγίου βήματος. Ὁ ἱερεύς εἰρήνην.

Ὅπως ὑπὸ τὸ κράτος σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο λαός· Ἀμήν.

Μετὰ τὴν εἰρήνην λέγει πρὸς ἑαυτόν, ἡ οἱ μὲν ψάλται ψάλλουσι τὸν χερουβικὸν ὕμνον· ὁ δὲ διάκονος παρακελεύεται τοῖς ἱερεῦσι, μὴ θυμιάματος θυμᾶν πρὸ τοῦ ἁγίου τραπέζου καπνοειδῆ κύκλῳ, ἢ τὸ ἱερατεῖον, ἢ τὸν ἱερέα. ἢ μὴ τότε ἵστασθαι ἐν τῇ εἰσόδῳ τῦ ἱερέως ἐυλαβῶς, παρεμένειν τοῦ συμπληρῶσαι τὴν εὐχήν.

Εὐχὴ, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς τῦ χερουβικῦ ὡδείου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς ἁρπαγαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῖ τῆς δόξης. Τὸ γὰρ προσέχειν σοι, μέγα καὶ φοβερὸν καὶ ἀυτοῖς τοῖς ἐπουρανίοις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὸ ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀμέτοχοιώτως γέγονας ἀνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ θεαμάκτου θυσίας τὸν ἱεροργόν μ' ἐδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, διέπεις τοὺς ὑπουρανίων καὶ τοὺς ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ Κύριος, καὶ βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. σὲ τοίνυν δυσωπῶ τὸ μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δούλον σου· καὶ καθάρισόν με τῷ ψυχῷ καὶ τῇ καρδίᾳ ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὸν τῆς ἱερατείας σου χάριν, προσελθεῖν τῇ ἁγίᾳ σου τραπέζῃ, καὶ ἱερουργῆσαι τὰ ἅγια καὶ ἄχραντά σου σῶμα, καὶ τὸ τίμιόν σου αἷμα. σοὶ γὰρ προσπίπτω καὶ κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. σὺ γὰρ εἶ ὁ προσφέρων καὶ ὁ προσφερόμενος, καὶ προσδεχόμενος καὶ ἀναδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν ζωῇ ἀπάρχῃ σου πατρὶ, καὶ ἁγιαστικῷ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληροφόρησον ἡμᾶς εὐχῇ, ἃ χρὴ ἐμὲ τὸν χερουβικὸν ὕμνον, καὶ τοὺς ἐν τῷ λέγειν αὐτὸν προσκαιρουμένους· εἶτα καὶ τὸν πεντηκοστὸν ψαλμὸν μυστικῶς, καὶ προσκαιρουμένους τοὺς, ἀπέρχεσθαι ἐν τῷ προθέσει, προπορευομένου τῦ διακόνου μὴ θυμιάματος· καὶ θυμάσαι τὰ ἅγια, καθ' ἑαυτὸν εὐχόμενον τὸ,

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ὡσεὶ δ' ἱερέα λέγει. Ἔμπροσθεν, διάστασιν.

Ὁ μὲν ἱερεὺς ἄρας τὸν ἄρτον, ἐπιτίθησι τῇ ἀριστερᾷ ὤμῳ τῦ διακόνου, λέγων·

Εἰ εἰρήνη ἐπάνω τῶν χέρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογήσατε τὸν Κύριον. εὐλόγησόν σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διάκονος· Ἀμήν.

Εἶτα τὸν ἄρτον δείκνυσι τοῖς συμπρεσβυτέροις· ὁ διάκονος μὴ προσπελάζει· ὁ δὲ ἱερεὺς αἴρων τὸν ἄρτον πρὸς μόνον, καὶ ὁ διάκονος κρατῶν ἐν τῇ δεξιᾷ αὐτῦ ἐυλαβῶς τὸ θυμιατήριον. καὶ ἀκροώμενοι τὴν εὐχὴν, αὐχοῦσι τὰ ἀμφότερα, λέγοντες·

Μνήσθητι Κύριος ὁ Θεὸς πάντων ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτῦ, πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ λαός· Ἀμήν.

Καὶ πολλάκις τοῦτο λέγουσιν, ἕως ἂν παραδῷ ἡ μεγάλη σύναξις, ἀπαρχόμενος ἡ εἰς τὸ ἅγιον βῆμα, λέγουσι καθ' ἑαυτούς·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα

Εκφώνως. Ινα ἐν αὐτοὶ σεν ἡμῖν δοξάζωσι τὸ πανάγιόν σου ὄνομά σε, τῆς πατρὸς καὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ καὶ ὁμοουσίου καὶ ἀχωρίστου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Αμήν.

Μετὰ τὸν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ ἅλαστον, καὶ χτυπᾷ τὸ σύνθρονον ἑξαπλοῦν.

Ο διάκονος. Οσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε. μὴ τις τῶν κατηχουμένων. ὅσοι πιστοὶ, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Εὐχὴ ποιεῖται παρὰ μὲν τοῦ ἀναγνώστου τὸ ἅλαστον, ἐν δὲ ἱερεὺς μυστικῶς λέγει.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· προσδέξαι, ὁ Θεὸς, τὴν δέησιν ἡμῶν, πρόσχες ἡμᾶς ἀξίους γενέσθαι τῆς προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἐκθύμωσον ἡμᾶς, ὡς ἔχοντάς τι δίκαιον σοῦ ταύτην, τὴν δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως τὸ καθαρὸν τοῦτο μυστήριόν σου προσενεγκεῖν ἡμᾶς, ὅπως ἐπισκιάσῃ ἐπὶ τὸν προκείμενον ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο, ἵλεως ἡμῖν εἶναι τὸ τῆς σῆς ἀγαθότητος πλήθος.

Εὐχομένου τοῦ ἱερέως, ὁ διάκονος λέγει τὸ εἰρηνικὸν, τοῦτ' ἔστιν, ἔξω τοῦ ἁγίου βήματος εἰς τὸν σύνθρονον τόπον.

Επι καὶ ἐπὶ τὸ εἰρηνικὸν, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Υπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Αντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Ο χορός. Κύριε, ἐλέησον.

Ο διάκονος. Σοφία.

Ο ἱερεὺς εἰσφώνως.

Οτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο χορός. Αμήν.

Εὐχὴ ποιεῖται λιτέως, ὡς ὁ ἱερεὺς μυστικῶς λέγει.

Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν, καὶ σὲ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν αἰσχύνῃ καὶ ἀκαταγνώστως τοῦ

τῷ

Σοφία ὀρθή· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ διάκονος· ἐκ τοῦ κατὰ τὸν ἅγιον εὐαγγέλιον ἀνάγνωσμα. Καὶ ὁ ἱερεύς· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις, λέγει σοι ὁ διάκονος ὁ ἱερεύς· Εἰρήνη σοι. Καὶ ὁ διάκονος ἐλθὼν ἐκ τοῦ ἁγίου θυσιαστηρίου, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. εἶτα ἐκ τοῦ ζωοδόχου τάφου, ἄρχεται ὑμνεῖν·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου εἰσάκουσον καὶ ἐλέησον.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, Κύριε, εἰσάκουσον.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Ἔτι δεόμεθα ὑπὲρ τῶν θεοσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, καὶ παντὸς στρατοῦ αὐτῶν, ὑπὲρ τοῦ Κυρίους αὐτῶν τοῦ Θεοῦ ἡμῶν ὑποπλέους γενέσθαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν παράπλιον μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν παρὰ δέξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τὸν φιλοτιμούς σε καταπεμφον ἐφ' ἡμᾶς καὶ ὑπὲρ πάντα τὸν λαόν σου, τοὺς ἀπεκδεχομένους παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς εἶ σὺ καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ χορός. Ἀμήν.

ὁ διάκονος. Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Κατηχήσῃ αὐτοῖς τὸν λόγον τῆς ἀληθείας.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Σῶσον, ἐλέησον, πλήρωσον καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι.

ὁ χορός. Κύριε ἐλέησον.

ὁ διάκονος. Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

ὁ χορός. Σοί Κύριε.

Εὐχὴ κατηχουμένων ἐκ τῆς ἁγίας ἀναφορᾶς, ἣν ὁ ἱερεὺς λέγει μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὸν σωτήριον τῶν γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν καὶ Θεὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅπως ἐλεήσῃ ὅπως τοὺς ἀνθρώπους, τοὺς κατηχουμένους, τοὺς ἐπικεκλικότας τὸ τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἑνῶσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκατάθεσθαι αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνως.

Δόξα ἐν ὑψίστοις θεῷ,

Ψάλλουσι καὶ αὐτοὶ, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος τὸ τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ σφραγισμοὺς τρεῖς ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Εὐλόγησον, δέσποτα.

Καὶ ἀπέρχονται εἰς τὴν καθέδραν. καὶ ὁ ἱερεὺς λέγει ἀφράστως.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ διάκονος. Εὐλόγησον, δέσποτα, τὸν δεύτερον καθέδραν.

Καὶ ὁ ἱερεύς. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου καθήμενος ὁ ὑπὲρ τοὺς χερουβὶμ, πάντοτε νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μὴ τοῦ συμπληρῶσαι τὸ τρισάγιον, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῆς θύρας λέγει.

Πρόσχωμεν.

Καὶ ὁ ἱερεύς. Εἰρήνη πᾶσιν.

Ὁ διάκονος. Σοφία.

Καὶ ὁ ἀναγνώστης ἄρχεται. Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ.

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον τῆς ἀποστόλου καὶ τῆς ἡμέρας.

Καὶ ὁ διάκονος αὖθις. Πρόσχωμεν.

